BA δίον, ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ
ἀναστροφῇ σου. [15]καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. οἶνον εἰς μέθην 15
μὴ πίῃς, καὶ μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου. [16]ἐκ 16
τοῦ ἄρτου σου δίδου πεινῶντι καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυ-
μνοῖς· πᾶν, ὃ ἐὰν περισσεύσῃ σοι, ποίει ἐλεημοσύνην, καὶ μὴ φθονε-
σάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. [17]ἔκχεον 17
τοὺς ἄρτους σου ἐπὶ τὸν τάφον τῶν δικαίων καὶ μὴ δῷς τοῖς
ἁμαρτωλοῖς. [18]συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον καὶ μὴ 18
καταφρονήσῃς ἐπὶ πάσης συμβουλίας χρησίμης. [19]καὶ ἐν παντὶ 19
καιρῷ εὐλόγει κύριον τὸν θεὸν καὶ παρ᾽ αὐτοῦ αἴτησον ὅπως αἱ
ὁδοί σου εὐθεῖαι γένωνται, καὶ πᾶσαι αἱ τρίβοι καὶ βουλαὶ εὐοδω-
θῶσιν· διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλὰ αὐτὸς ὁ κύριος
δίδωσιν πάντα τὰ ἀγαθὰ καὶ ὃν ἐὰν θέλῃ, ταπεινοῖ, καθὼς βούλε-
ται. καὶ νῦν, παιδίον, μνημόνευε τῶν ἐντολῶν μου, καὶ μὴ ἐξαλει-
φθήτωσαν ἐκ τῆς καρδίας σου. [20]καὶ νῦν ὑποδεικνύω σοι τὰ δέκα 20
τάλαντα τοῦ ἀργυρίου, ἃ παρεθέμην Γαβαήλῳ τῷ τοῦ Γαβρια ἐν
Ῥάγοις τῆς Μηδίας. [21]καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτωχεύσαμεν· 21
ὑπάρχει σοι πολλά, ἐὰν φοβηθῇς τὸν θεὸν καὶ ἀποστῇς ἀπὸ πάσης
ἁμαρτίας καὶ ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.
[1]Καὶ ἀποκριθεὶς Τωβιας εἶπεν αὐτῷ Πάτερ, ποιήσω πάντα, ὅσα 5
ἐντέταλσαί μοι· [2]ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον καὶ οὐ 2
γινώσκω αὐτόν; [3]καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον καὶ εἶπεν αὐτῷ 3

16 διδου] pr. δια A† | περισσευη A | σε > A || 19 ον] ο B† | βουλονται B† || 20 επιδεικνυω B† | γαμαηλω A†: cf. 1 1 || 21 θεον] κυριον A

---

S [19]δώσει κύριος αὐτοῖς βουλὴν ἀγαθήν· καὶ ὃν ἂν θέλῃ κύ- 19
ριος, ταπεινοῖ ἕως ᾅδου κατωτάτω. καὶ νῦν, παιδίον, μνημόνευε
τὰς ἐντολὰς ταύτας, καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας
σου. [20]καὶ νῦν, παιδίον, ὑποδεικνύω σοι ὅτι δέκα τάλαντα ἀργυ- 20
ρίου παρεθέμην Γαβαήλῳ τῷ τοῦ Γαβρι ἐν Ῥάγοις τῆς Μη-
δίας. [21]καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτωχεύσαμεν· ὑπάρχει σοι 21
πολλὰ ἀγαθά, ἐὰν φοβηθῇς τὸν θεὸν καὶ φύγῃς ἀπὸ πάσης ἁμαρ-
τίας καὶ ποιήσῃς τὰ ἀγαθὰ ἐνώπιον κυρίου τοῦ θεοῦ σου.
[1]Τότε ἀποκριθεὶς Τωβιας εἶπεν Τωβιθ τῷ πατρὶ αὐτοῦ Πάντα, 5
ὅσα ἐντέταλσαί μοι, ποιήσω, πάτερ· [2]πῶς δὲ δυνήσομαι αὐτὸ 2
λαβεῖν παρ᾽ αὐτοῦ καὶ αὐτὸς οὐ γινώσκει με καὶ ἐγὼ οὐ γινώ-
σκω αὐτόν; τί σημεῖον δῶ αὐτῷ καὶ ἐπιγνῷ με καὶ πιστεύσῃ
μοι καὶ δῷ μοι τὸ ἀργύριον; καὶ τὰς ὁδοὺς τὰς εἰς Μηδίαν οὐ
γινώσκω τοῦ πορευθῆναι ἐκεῖ. [3]τότε ἀποκριθεὶς Τωβιθ εἶπεν 3

4 20 αργοις S, sed in 1 etiam S ραγοις, in 6 13 ραγων, cf. 5 6 9 2